25 [25]καὶ ἐγενήθη σωτηρία μεγάλη τῷ Ισραηλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.
26 [26]Ὅσοι δὲ τῶν ἀλλοφύλων διεσώθησαν, παραγενηθέντες ἀπήγ-
27 γειλαν τῷ Λυσίᾳ πάντα τὰ συμβεβηκότα. [27]ὁ δὲ ἀκούσας συνεχύθη
καὶ ἠθύμει, ὅτι οὐχ οἷα ἤθελεν, τοιαῦτα ἐγεγόνει τῷ Ισραηλ, καὶ
28 οὐχ οἷα αὐτῷ ἐνετείλατο ὁ βασιλεύς, ἐξέβη. [28]καὶ ἐν τῷ ἐρχομένῳ
ἐνιαυτῷ συνελόχησεν ἀνδρῶν ἐπιλέκτων ἑξήκοντα χιλιάδας καὶ
29 πεντακισχιλίαν ἵππον ὥστε ἐκπολεμῆσαι αὐτούς. [29]καὶ ἦλθον εἰς
τὴν Ιδουμαίαν καὶ παρενέβαλον ἐν Βαιθσουροις, καὶ συνήντησεν
30 αὐτοῖς Ιουδας ἐν δέκα χιλιάσιν ἀνδρῶν. [30]καὶ εἶδεν τὴν παρεμ-
βολὴν ἰσχυρὰν καὶ προσηύξατο καὶ εἶπεν Εὐλογητὸς εἶ, ὁ σωτὴρ
Ισραηλ ὁ συντρίψας τὸ ὅρμημα τοῦ δυνατοῦ ἐν χειρὶ τοῦ δούλου
σου Δαυιδ καὶ παρέδωκας τὴν παρεμβολὴν τῶν ἀλλοφύλων εἰς
χεῖρας Ιωναθου υἱοῦ Σαουλ καὶ τοῦ αἴροντος τὰ σκεύη αὐτοῦ·
31 [31]οὕτως σύγκλεισον τὴν παρεμβολὴν ταύτην ἐν χειρὶ λαοῦ σου
Ισραηλ, καὶ αἰσχυνθήτωσαν ἐπὶ τῇ δυνάμει καὶ τῇ ἵππῳ αὐτῶν·
32 [32]δὸς αὐτοῖς δειλίαν καὶ τῆξον θράσος ἰσχύος αὐτῶν, καὶ σαλευθή-
33 τωσαν τῇ συντριβῇ αὐτῶν· [33]κατάβαλε αὐτοὺς ῥομφαίᾳ ἀγαπών-
των σε, καὶ αἰνεσάτωσάν σε πάντες οἱ εἰδότες τὸ ὄνομά σου ἐν
34 ὕμνοις. [34]καὶ συνέβαλλον ἀλλήλοις, καὶ ἔπεσον ἐκ τῆς παρεμβολῆς
Λυσίου εἰς πεντακισχιλίους ἄνδρας καὶ ἔπεσον ἐξ ἐναντίας αὐτῶν.
35 [35]ἰδὼν δὲ Λυσίας τὴν γενομένην τροπὴν τῆς αὐτοῦ συντάξεως,
τῆς δὲ Ιουδου τὸ γεγενημένον θάρσος καὶ ὡς ἕτοιμοί εἰσιν ἢ ζῆν
ἢ τεθνηκέναι γενναίως, ἀπῆρεν εἰς Ἀντιόχειαν καὶ ἐξενολόγει πλε-
οναστὸν πάλιν παραγίνεσθαι εἰς τὴν Ιουδαίαν.
36 [36]Εἶπεν δὲ Ιουδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰδοὺ συνετρίβησαν οἱ
37 ἐχθροὶ ἡμῶν, ἀναβῶμεν καθαρίσαι τὰ ἅγια καὶ ἐγκαινίσαι. [37]καὶ
38 συνήχθη ἡ παρεμβολὴ πᾶσα καὶ ἀνέβησαν εἰς ὄρος Σιων. [38]καὶ
εἶδον τὸ ἁγίασμα ἠρημωμένον καὶ τὸ θυσιαστήριον βεβηλωμένον
καὶ τὰς θύρας κατακεκαυμένας καὶ ἐν ταῖς αὐλαῖς φυτὰ πεφυκότα
ὡς ἐν δρυμῷ ἢ ὡς ἐν ἑνὶ τῶν ὀρέων καὶ τὰ παστοφόρια καθ-
39 ῃρημένα. [39]καὶ διέρρηξαν τὰ ἱμάτια αὐτῶν καὶ ἐκόψαντο κοπετὸν

25 τω] pr. εν S† || 27 ακουσας] + παντα A† | εγεγονει] γεγονεν A | ουχ ult. ... εξεβη] ... ουκ εξεβη S† | αυτω ενετειλ. SV†] tr. rel. || 28 συνελοχ.] συνευδοκησεν S*† | εκπολεμησαι] εκ > SV†: cf. 11 20. 46 15 31 || 29 ηλθεν S pau. | ιδουμ.] ιουδαιαν S†: cf. 15 | παρενεβαλλον S*† | εν δεκα χιλ. ανδρων] ενδεκα χιλιαδας εχων ανδρων La†: item, sed δεκα pro ενδεκα, S† || 30 ειδεν] -δον S La†; deinde S† (non La) etiam προσηυξαντο και ειπον || 31 ουτως pau. La] > rel. | εν χειρι] εις -ρας A(†) || 33 ειδοτες] ιδοντες A || 35 ιουδου: cf. 3 25 | η $1^{0}$] ει S† | πλεοναστον παλιν Ra. (cf. La)] pr. και omnes codices graeci; + γεν(ν)ηθεντα SA (mss. hoc loco multis modis uariant) | παραγ(ε)ινεσθαι] -γεν- A || 36 αναβωμεν καθαρισαι] αναβαται(pro -τε) καθαρισαται(pro -τε) S*†, αναβωμεν και καθαρισωμεν Sc*L* | εγκαινισαι] -σωμεν Sc*L* || 38 αγιασμα] + ημων A† | θυρας] πυλας A pl. | εν ult. > S: ante ενι || 39 διερρηξαν] δι > S†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1104 UNIVERSITÄT LEIPZIG